αἰαῖ ποῦ τὸ ποθεινὸν ἐμοὶ θάλος; ἅρπασεν Ἅιδας,
ἅρπασεν, ἀκμαῖον δ᾽ ἄνθος ἔφυρε κόνις.
ἀλλά σε γουνοῦμαι, Γᾶ παντρόφε, τὰν πανόδυρτον
ἠρέμα σοῖς κόλποις, μᾶτερ, ἐναγκαλίσαι. 4335

## LVII

γυμνὴν ἢν ἐσίδῃς Καλλίστιον, ὦ ξένε, φήσεις 4336
"ἤλλακται διπλοῦν γράμμα Συρηκοσίων."

## LVIII

εἰπὲ Λυκαινίδι, Δορκάς, "ἴδ᾽ ὡς ἐπίτηκτα φιλοῦσα 4338
ἥλως· οὐ κρύπτει πλαστὸν ἔρωτα χρόνος."

## LIX

ἰξὸν ἔχεις τὸ φίλημα, τὰ δ᾽ ὄμματα, Τιμάριον, πῦρ· 4340
ἢν ἐσίδῃς καίεις, ἢν δὲ θίγῃς δέδεκας.

## LX

οὐκέτι Τιμάριον, τὸ πρὶν γλαφυροῖο κέλητος
πῆγμα, φέρει πλωτὸν Κύπριδος εἰρεσίην·
ἀλλ᾽ ἐπὶ μὲν νώτοισι μετάφρενον ὡς κέρας ἱστῷ
κυρτοῦται, πολιὸς δ᾽ ἐκλέλυται πρότονος, 4345